TEZAUR LITURGIC

**17 OCTOMBRIE**

**ANTONIOS MARKOU**

# PARACLISUL SOBORULUI SF.DOCTORI FĂRĂ DE ARGINȚI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

# ΑΝΑΡΓΥΡΩΝ ΚΑΙ ΙΑΜΑΤΙΚΩΝ ΑΓΙΩΝ

## Ποίημα Ἀντωνίου Μάρκου

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Τῶν Ἀναργύρων τῇ πανσέπτῳ χορείᾳ,* μετ' εὐφροσύνης οἱ πιστοί δεῦτε πόθῳ* προσπέσωμεν, αἰτούμενοι πρεσβείας αὐτῶν,* τῶν ψυχῶν ἀντίληψιν* καί σωμάτων τήν ῥῶσιν,* βίου τε διόρθωσιν, τῇ αὐτῶν βοηθείᾳ·* καί εὐγνωμόνως εἴπωμεν αὐτοῖς·* χαίρετε θεῖοι* Κυρίου Ἀνάργυροι.

Δόξα. Ἀπολυτίκιον κοινόν. Ἦχος πλ. δ΄.

Ἅγιοι Ἀνάργυροι καί θαυματουργοί* ἐπισκέψασθε τάς ἀσθενείας ἡμῶν,* δωρεάν ἐλάβετε,* δωρεάν δότε ἡμῖν.

Καί νῦν. Θεοτοκίον. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Τῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν,* οἱ τυραννούμενοι δεινῇ ἀσθενείᾳ,* τῇ θεϊκῇ Σου σκέπασον ἀγάπῃ ἡμᾶς·* σπεῦσον, Κόρη, ῥύσασθαι* ἐκ τῆς κακώσεως ταύτης,* πάσης περιστάσεως* καί τῆς δαιμόνων μανίας·*

Σύ γάρ ὑπάρχεις Μήτηρ τοῦ Θεοῦ* καί τῶν Σῶν τέκνων* θεόθεν Ἰάτραινα.

Ὁ Ν΄ (50) Ψαλμός.

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς ἐν τοῖς Θεοτοκίοις· *ΑΝΤΩΝΙΟΥ.*

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Λουκᾶ [3] θεηγόρε καί Ἰατρέ,* συνέκδημε Παύλου,* ἀσθενείας τῶν ὀφθαλμῶν* θεράπευσον σοί τῶν προσπιπτόντων* καί δεομένων τῆς σῆς ἀντιλήψεως.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Κοσμᾶ [4] τῶν Ῥωμαίων ἡ καλλονή* σεπτῶν Ἀναργύρων* καί θεόσεπτος κορυφή,* λῦσον τόν βρόχον ἀσθενείας,* τῶν προστρεχόντων τῇ σκέπῃ σου, Ἅγιε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Ὁμαίμονι θείῳ Δαμιανέ [5]* ὁμότιμος πέλεις* ξυνωρίδος ῥωμαϊκῆς·* θεόφρον, ὅθεν τήν ὑγείαν* τοῖς ἐπί σοί προσφοιτῶσι ἐπόμβρισον.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Κοσμᾶ [6] Ἀραβίας, Δαμιανέ, [7]* Λεόντιε [8] μάκ αρ* καί Εὐτρόπιε [9] θαυ-μαστέ,* σύν

τῷ Ἀνθεμίῳ [10] τήν ὑγείαν* ἐπί τοῖς πάσχουσι δότε, αὐτάδελφοι.

Ἅγιαι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Λουκία [11] Παρθένε Συρακουσῶν,* Χριστοῦ καλλιμάρτυς,* σύν Ἀγάθῃ [12] τῇ θαυμαστῇ,* ἰάσασθε ὀμμάτων ἀσθενείας* τούς προσιόντας ὑμῖν μετά πίστεως.

Δόξα.

Ἀγγελή [13] Νεομάρτυς καί Ἰατρέ,* τοῦ Ἄργους τό κλέος* καί τῆς Χίου ἡ χαρμονή,* ἐπίσκεψαι τούς πάσχοντας ἐλέει* τῶν πρεσβειῶν σου πρός μόνον Φιλάν-θρωπον.

Καί νῦν. Θεοτοκίον.

Ἁπάντων προστάτις καί βοηθός* ἐν ταῖς ἀσθενείαις* πέλεις, Κόρη, παρά Θεοῦ·* Ἰάτρισσα [14] ὅθεν τῶν πασχόντων* καί τρυχομένων ἐκλήθης, Πανάσπιλε.

ᾨδή γ΄. Οὐρανίας ἁψίδος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Καισαρίῳ [15] τῷ θείῳ,* τοῦ Γρηγορίου ὁμαίμονι,* Ἰατρῷ ψυχῶν καί σωμάτων,* τό γόνυ κλίνομεν* παθῶν αἰτούμενοι* τῶν ἀνιάτων τήν λύσιν* ταῖς αὐτοῦ δεήσεσιν καί παρακλήσεσιν.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Ἑρμιόνης [16] Ἁγίας* σεπτῇ πρεσβείᾳ δεόμεθα,* πᾶσι τήν ὑγείαν βραβεῦσαι* Χριστός ὁ Κύριος,* τοῖς ἀσθενοῦσι πιστοῖς* καί αἰτουμένοις τήν ῥῶσιν* ἐπικαλου-μένοις τε* αὐτῆς τό ὄνομα.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Νικοστράτῃ [17] Ὁσίᾳ,* τοῦ Χρυσοστόμου θεράπαινι,* σπεύσωμεν αἰτούμενοι ῥῶσιν* καί ἀπολύτρωσιν* ἐξ ἐπωδύνων παθῶν* τοῦ φάρυγγος, ἐνθέου* τυχόντες ἀντιλήψεως* αὐτῆς δεήσεσιν.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Θεοδόσιε [18] Πάτερ,* τῆς Ἀργολίδος τό ἔρεισμα,* καί Βλάσιε [19] Ἱερο-μάρτυς,* τῆς Σεβαστείας Ἐπίσκοπε,* τῶν ἀσθενείας παθῶν* λυτροῦσθαι ἀναργύρως* τοῖς ὑμῖν προσπίπτουσι* καί γόνυ κλίνουσι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Τῷ Σπυρίδωνι [20] πάντες* τῷ Ἱεράρχῃ προσπέσωμεν* αἰτούμενοι ἀπό πανώλους* καί ἐκ χολέρας διάσωσιν,* ὡς οἱ Κερκύρας ποτέ* καί τῆς Λευκάδος ἱκέται,* οἵτινες καί ἔλαβον ταχέως ἴασιν.

Δόξα.

Ἰωάννη [21] καί Κύρε [22]* τῆς Ἀραβίας ἀνθήσματα,* Ὁσιομαρτύρων τό κλέος,* τῶν ἀσθενῶν

οἱ θεράποντες* ἄμισθοι ἰατροί,* ἐπί τοῖς πάσχουσι σπεῦσον,* ὤ δυάς θεότιμε καί λαοτίμητε.

Καί νῦν.

Νεολαίαν Σου, Μῆτερ,* ὡς συμπαθής οἴκτειρον* καί ἀπό δεινῶν ἀσθενείας* Σύ διατήρησον* ἄτρωτον, Δέσποινα,* καί τά αἰτήματα πάντων* πλήρου, Διασώζουσα, [23]* ἡμᾶς κακώσεως.

Λυτρώσατε* Ἀνάργυροι ἀπό νόσων* τούς προσπίπτοντας τῇ θείᾳ ὑμῶν σκέπῃ* τούς τε αἰτουμένους* ὑμῶν σεπτάς πρεσβείας.

Ἐπίβλεψον* ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,* ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν* καί ἴασαι* τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Χριστοῦ οἰκτιρμῶν* πηγαί ἀνεξάντλητοι* ὑμῶν τά ὀστά* Ἀνάργυροι ἐδείχθησαν,* πρός ἅ πίστει καταφεύγοντες,* ἐκ καρδίας βοῶμεν οἱ τάλαινες·* μή διαλίπετε λυτροῦσθαι ἡμᾶς* τούς αἰτουμένους ὑμῶν τήν ἀντίληψιν.

Ὠδή δ΄. Εἰσακήκοα, Κύριε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Τρύφων [24] θεῖε κατάπεμψον* τοῖς σέ ἀνυμνοῦσιν, ὑγείαν ἄνωθεν,* τῆς Φρυγίας τό

ἀνάστημα,* Παιδομάρτυς,* ὁ ποιμήν ὑπάρχων πρότερον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Ἑρμολάου [25] δεήσεσιν,* τοῦ καί διδασκάλου Παντελεήμονος,* καί πρεσβείαις, τούς προστρέχοντας,* Σῶτερ, ἐν ὑγείᾳ διατήρησον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Τῷ τῆς Λαύρας κοσμήματι* Κιέβου τῶν Σπηλαίων, τῷ θεραπεύοντι* τῶν ἀνθρώπων τά νοσήματα,* τῷ Ἀγαπητῷ [26] ἐν πίστει σπεύσωμεν.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἡ δυάς ἡ θεότιμος* ἡ τῶν αὐταδέλφων, σεπτός Ζηνόβιος [27]* Ζηνοβία [28] ἀνυμνείσθωσαν·* οὗτοι γάρ πηγάζουσιν ἰάματα.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Τῇ Βαρβάρᾳ [29] προσπέσωμεν* κόρῃ τῇ παρθένῳ, Μεγαλομάρτυρι,* ἀπολύ-τρωσιν αἰτούμενοι* εὐλογιᾶς τῆς λύμης καί κακώσεως.

Δόξα.

Διομήδους [30] δεήσεσι,* τοῦ τῆς Κιλικίας Ταρσοῦ βλαστήματος,* ἰατροῦ ψυχῶν ὑπάρχοντος* καί σωμάτων, τύχοιμεν ἰάσεως.

Καί νῦν.

Τῇ Πηγῇ Ζωοδόχῳ Σου* στάξον ὡς νεφέλη, Μῆτερ, θεόδροσος* τοῖς προστρέχουσι, Παντάνασσα,* θεραπείας ὕδωρ καὶ ἰάσεως.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Χαίροις, ὦ Σαμψὼν [31]* Ξενοδόχε, προθυμότατε* ἰατρέ, τῶν ἀσθενούντων τῶν ψυχῶν* καὶ σωμάτων τῶν καμνόντων, ἀξιάγαστε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Περγάμου τῷ σεπτῷ* Ἀρχιθύτῃ νῦν προσπέσωμεν,* τῷ Ἀντίπᾳ [32], τῶν ὀδόντων ἀλγεινοῖς* κακουχούμενοι τοῖς πόνοις καὶ τοῖς πάθεσι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Λαύρας τῆς σεπτῆς* τοῦ Κιέβου ἀναδέδειξαι* ἰατρὸς θαυματουργὸς Δαμιανὲ [33]·* ὅθεν δώρησαι ὑγείαν τοῖς τιμῶσι σε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰουλιανοῦ [34]* τῆς Ἐδέσσης, θείου Μάρτυρος* ἰατροῦ εὐεργετήσαντος πιστούς* τῇ πρεσβείᾳ ἐπικάμφθητι, Φιλάνθρωπε.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Δύφνα [35] ἡ σεπτή,* Ἰρλανδίας τό ἀπάνθισμα,* καταθλίψεως τόν βρόχον ἀληθῶς* ἐπιλύει τοῖς προστρέχουσι ἐκ πίστεως.

Δόξα.

Ὄλβος φαεινός* τοῦ Λιβάνου, ὦ Θαλλέλαιε [36]* ἐνυπάρχων, Μάρτυς Ἰαματικέ,* σούς πιστούς ἀπό τῆς λώβης περιφρούρησον.

Καί νῦν.

Ὢ τῶν θαυμαστῶν* μεγαλείων καί θαυμάτων Σου,* ἅ ποιεῖς εἰς προστασίαν γυναικῶν* καί βρεφῶν ἀρτιγεννήτων, Λεχωβίτισσα [37].

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Βίτωνος [38] θείου* τοῦ Παιδομάρτυρος, ὅστις* ἐν ἐφηβείᾳ τόν Βελίαρ καθεῖλε,* θείας πρεσβείας ἐκζητήσωμεν, φίλοι,* οἱ ἀσθενείαις τρυχόμενοι ἅπαντες,* ὡς ὄντα Ἰαματικόν* καί θεραπεύοντα νεύρων νοσήματα.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Νεκτάριος* [39] ὁ Πενταπόλεως μέγας* Θαυματουργός, παρ᾽ ἡμῶν ἀνυμνή-σθω·* θεραπευτής γάρ ἐνυπάρχει παντοίων* νόσων ψυχῆς τε καί σώματος ἄμισθος,* μετά Μεδίκου [40] Ἰατροῦ* τοῦ ἀναργύρως ἰάσεις παρέχοντος.

Ἅγιαι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Τῇ Ζηναΐδι [41]* καί Φιλονίλλῃ [42] βοῶμεν,* ταῖς ἐκ Ταρσοῦ καί τοῦ Παύλου συγχρόνοις,* ἡμᾶς νοσοῦντας πολλαπλῶς, θεοφόροι,* ὡς Ἰατροί συμπαθεῖς ἐλεήσα-τε* καί νοσημάτων τάς σειράς* Χριστοῦ δυνάμει ὑμεῖς διαλύσατε.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Τῆς Σεβαστείας* γόνος ὑπάρχων καί κλέος* Ἀντίοχε [43] καί ἰατρός πασχόντων,* ὁμοῦ Ποιμένι [44] τῆς Λαύρας Ὁσίῳ,* τούς τρυχομένους κακίᾳ τοῦ ὄφεως* λυτρώσασθε ἀπό παθῶν* καί ἐπομβρίσατε ὑγείαν τήν μένουσαν.

Ἁγίαι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Σεπτή Εἰρήνῃ [45]* Χρυσοβαλάντου βοῶμεν,* ὁμοῦ τῇ Ἄννῃ [46] τῇ Θεομήτορι πᾶσαι* αἱ ἀτεκνίας κατατρυχόμεναι βάρει,* καλλιτεκνίᾳ ἡμᾶς εὐλογή-σατε,* τῶν δεομένων προσευχάς* ἐπακούουσαι ὡς ἐλεήμονες.

Δόξα.

Σοφίας μόνης* ἐνυποστάτου δοχεῖον* ἐνυπάρχουσα Ἰάτραινα Σοφία [47]* μαρτυρικῶς ἀθεΐας καθεῖλες* βωμούς καί δόμους εἰδώλων ἡ πάνσεμνος,* ὡς καί ἡ Μάρτυς ἡ κλεινή* Ἀναστασία [48] μαγείας ἡ λύτρια.

Καὶ νῦν.

Ναῷ Σου* ἐν Μαλεβῆς [49] τῷ σεμνείῳ* τήν Σήν Εἰκόνα, Παρθένε, ὁρῶμεν,* ἣ τοῦ καρκίνου τό πάθος διώκει,* λοιπῶν δέ νόσων λυτροῦται τούς πάσχοντας,* ἀγαλλιώμενοι ἀεί* καί τῷ φωτί Σου ἀεί εὐφραινόμενοι.

Λυτρώσασθε* Ἀνάργυροι ἀπό νόσων* τούς προσπίπτοντας τῇ θείᾳ ὑμῶν σκέπῃ* τούς τε αἰτουμένους* ὑμῶν σεπτάς πρεσβείας.

Ἄχραντε* ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως,* ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,* ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κάθισμα. Ἦχος β'. Τοῖς τῶν αἱμάτων Σου.

Τῶν ἰαμάτων τήν χάριν πλουτήσαντες,* τοῖς ἀσθενοῦσιν ἰάσεις παρέχετε·* διό θεοφόροι Ἀνάργυροι,* θαυματουργοί ἐν τῷ κόσμῳ ὑπάρχοντες,* ἀσμένως ὑμᾶς μακαρίζομεν.

Προκείμενον. *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ι' 1, 5-8).

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τούς δώδεκα μαθητάς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν

κατά πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά καί θεραπεύειν πᾶσαν νόσον καί πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων· εἰς ὁδόν ἐθνῶν μή ἀπέλθητε καί εἰς πόλιν Σαμαρειτῶν μή εἰσέλθητε· πορεύεσθε δέ μᾶλλον πρός τά πρόβατα τά ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δέ κηρύσσετε λέγοντες, ὅτι ἤγγικεν ἡ Βασιλεία τῶν Οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπρούς καθαρίζετε, δαιμόνια ἐκβάλλετε· δωρεάν ἐλάβετε, δωρεάν δότε.

Δόξα.

Ταῖς τῶν Ἀναργύρων* πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν.

Ταῖς τῆς Θεοτόκου* πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον. Στ. *Ἐλέησόν με ὁ Θεός,...* Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ἀνάργυροι θειότατοι,* τοῦ ἐλεήμονος Λόγου* λόγοι χρηματίσαντες* ἐν τῷ κόσμῳ ζήσαντες,* ἐλεήσατε* καί ἡμᾶς σήμερον* τούς ὑμῶν τελοῦντας* εὐγνωμόνως τά μνημόσυνα* καί τήν Παράκλησιν* τῆνδε ἐπ’ ἐλπίδι τούς ψάλλοντας,* πᾶσιν ἐπομβρίζοντες* τήν ὑγείαν ἄνωθεν, Ἅγιοι·* ἵνα τῷ

Κυρίῳ* τήν δόξαν ἀναπέμπομεν ἡμεῖς* Αὐτοῦ οἱ δοῦλοι οἱ τάλαινες,* ἀσθενείας μέτοχοι.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Κοσμᾶ [50] Δαμιανοῦ [51] τε* τῶν ἐκ τῆς Ἀσίας* τῶν Θεοδότης υἱῶν προσκυνήσωμεν* τά λείψανα τά θεῖα,* πηγάς ὡς θεραπείας* τῶν ἀσθενούντων ὑπάρχοντα,* καί ἐκβοήσωμεν χαρᾷ·* Χριστέ, εὐλογητός εἶ.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Τόν πρύτανιν τοῦ θείου* χοροῦ τῶν Ἀναργύρων* Παντελεήμονα [52] ἔνδοξον,* Μάρτυρα Ἰατρόν τε,* τιμήσωμεν ἐμφρόνως,* τῷ Κυρίῳ κραυγάζοντες·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Τῷ ἐν Διονυσίου* Μονῇ ὄντι Λειψάνω* τοῦ Ἀναργύρου Μωκίου [53] προσπέσωμεν* βοῶντες ἐκ καρδίας* ἐλέησον τῆς Θράκης,* Ἱερομάρτυς, ἀπάνθισμα,* τούς ἀνυμνούντας ἀεί* Θεόν τόν τῶν Πατέρων.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Περγάμου γόνος πέλων,* Διάκονος ὑπάρχων* τῆς Ἐκκλησίας, Ἀνάργυρε Πάπυλε [54],* θεράπων

ἀνεδείχθης,* πανόλβιε, νοσούντων·* διό τάχιστα ἴασαι* τάς ἀσθενείας ψυχῶν* ὁμοῦ τε καί σωμάτων.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Λαρίσης Ἀρχιθύτα,* Πάτερ Βησσαρίων [55],* ἐπιδημίας τήν λύμιν ἐκδίωξον* πανώλους εὐλογιᾶς τε,* ὡς πάλαι ἐν Λευκάδι,* θαυματουργῇ δυνάμει τῆς Κάρας σου* ἥ εὐλαβείᾳ πολλῇ* καί πίστει προσκυνοῦμεν.

Δόξα.

Θεράπων ἀσθενούντων* καί ῥύστης τῶν πασχόντων* τῇ εὐποιΐᾳ ἐδείχθης, Ἀνάργυρε* Παῦλε [56] σεπτέ, νοσούντων* θεραπευτά· διόπερ* ἡμᾶς τούς κράζοντας λύτρωσαι·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Καί νῦν.

Ἰάσεων πελάγη* τά Σά σεπτά τεμένη* ταῖς Σαῖς Εἰκόσι, Ἁγνή,* ἀνέδειξας τῷ ὄντι·* διό παρακαλοῦμεν* τήν ὑγείαν ἐγκαίνισον* τοῖς ἀνυμνοῦσι χαρᾷ* τόν ἄφρα-στον Σου Τόκον.

Ὠδή η΄. Τόν Βασιλέα.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Τοῦ Χαραλάμπους [57]* τῇ πρεσβείᾳ καί Κάρᾳ,* προσπεσόντες οἱ πιστοί ἀναβοῶμεν·* προστάτευσον ἐκ λοίμης* πανώλους βρωτοκτόνου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Νικομηδείας* κλέος ὑπάρχων καί Μάρτυς* καί Ἰατρός, Ἀνίκητε [58] παμμάκαρ,* περίσωζε θανάτου* ὁμοῦ μετά Φωτίου [59].

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Ἀποδιώκεις* νόσους καί καθαρίζεις* τούς λεπρούς, Ἠλία [60] Προφήτα,* ὁ δεύτερος Δεσπότου* Πρόδρομος Παρουσίας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Ἄλλος Ἠλίας,* τῇ τοῦ Κυρίου δυνάμει,* ἀναδέδειξαι, Προφήτα Ἐλισσαῖε [61],* Νεεμάν τοῦ Σύρου* τήν λέπραν θεραπεύσας.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Θείας Ματρώνης [62]* τῆς Ἀομμάτου λειψάνοις* προσπεσόντες οἱ πιστοί ἀναβοῶμεν·* ὑπό τῶν πρεσβειῶν σου* τήν σκέπην ἡμᾶς τήρει.

Δόξα.

Ὁ Καλανδρίων [63]* ὁ Κύπριος ὑπάρχει* τῶν νοσούντων ἰατρός· διό ἐν πόθῳ* προσπέσωμεν αἰτοῦντες* αὐτοῦ σεπτήν πρεσβείαν.

Καί νῦν.

Ὄρει Βερμίῳ* τοῦ Σουμελᾶ [64] Σῇ Εἰκόνι,* προσπίπτοντες ἱκέται Σου βοῶμεν·* δεινῶν ἐξ ἀσθενείας* φύλαττε τόν λαόν Σου.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Ἡ κόσμω τάς ἰάσεις* νέμουσα ἀπαύστως* καί ὀφθαλμούς ἀπό νόσων φυλάτουσα,* Παρασκευή Ἀθλοφόρε [65]* τάχος ἐπίσκεψαι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Ὑπέρ τῶν ἀνυμνούντων* σέ ἀπό καρδίας,* διά παντός ἐκδυσώπει τόν Κύριον,* Κεφαλληνίας τό κλέος* θεῖε Γεράσιμε [66].

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Λουκᾶ [67] Ἀρχιερέως* Ἰατροῦ τε τοῦ νέου* τούς κάμνοντας ἴασαι* ἀπό κακώσεως πάσης,* Εὔσπλαχνε Κύριε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Τῷ θείῳ Νικηφόρῳ, [68]* σεμνώματι τῆς Κρήτης,* καμίνῳ λέπρας χρυσίου λαμπρότερον* ἀναδειχθέντι ἐν κόσμῳ* σπεύσωμεν ἅπαντες.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Μετά τῶν ἐπωνύμων* τιμῶμεν ἀνωνύμους* ἡμῖν ἀγνώστους θείους θεράπο-ντας* τούς Ἀναργύρους ἐν ὕμνοις* Χριστόν δοξάζοντες.

Δόξα.

Ἀνάργυροι Κυρίου,* τάς νόσους τῶν αἰτούντων* καί προσπιπτόντων πρεσβείᾳ ὑμῶν,* ὡς ἀληθεῖς ἰατῆρες* τάχος ὀλέσατε.

Καί νῦν.

Ὕμνου περατωθέντος,* προστάτευσον τόν βίον,* τῇ Θεοτόκῳ βοῶμεν ἐκ πίστεως,* ἐξ ἀσθενείας σωμάτων* ψυχῶν τε, Δέσποινα.

Θεομητορικόν Μεγαλυνάριον.

Ἄξιον ἐστιν ὡς ἀληθῶς* μακαρίζειν Σέ τήν Θεοτόκον,* τήν ἀειμακάριστον καί παναμώμητον* καί Μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τήν τιμιωτέραν τῶν Χερουβείμ* καί ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφείμ·* τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν,* τήν ὄντως Θεοτόκον* Σέ μεγαλύνομεν.

Μεγαλυνάρια τῶν Ἁγίων (κατ’ ἀλφάβητον).

Μάρτυρος Ἀγάθης τῆς ἐν Σικελίᾳ. Ἀνωνύμου.

Χαίροις Καλλιπάρθενε τοῦ Χριστοῦ,* Ἀγάθη θεόφρον,* ἡ ἀθλήσασα ἀνδρι-κῶς·* χαίροις προστασία* τῶν σέ ὑμνολογούντων* καί βοηθός ἐν πᾶσι,* Μάρτυς πανεύφημε.

Ὁσίου Ἀγαπητοῦ τοῦ Κιέβου. Ἀντ. Μάρκου.

Λαύρας τῶν Σπηλαίων τῷ Ἰατρῷ* καί τῶν τρυχομένων* ἀσθενείας πόνοις πολλοῖς,* Ἀγαπητῷ Κιέβου* προσπέσωμεν βοῶντες·* μή ἐπιλάθου, Πάτερ,* τῶν προστρεχόντων σοι.

Νεομάρτυρος Ἀγγελή τοῦ ἐν Χίῳ. Ὁσίου Νικηφόρου τοῦ Χίου.

Χαίροις Ἀθλοφόρε νέε Χριστοῦ,* Ἀγγελή τρισμάκαρ,* σύν Ἀγγέλων νῦν τοῖς χοροῖς* καί τοῖς τῶν Μαρτύρων* καί πάντων τῶν Ἁγίων,* ὡς παρεστώς τῷ θρόνῳ* τοῦ Παντοκράτορος.

Ἁγίας Ἄννης τῆς Θεοπρομήτορος. Ἱερομ. Ἀρτεμίου Ἁγιαρτεμίτου.

Χαρίτων ὡς ἔμπλεως, ἀγαθή,* χαρίτωσον πάντας* τούς ἐν πίστει σέ ἀκλινεῖ* ἀνυμνολογοῦντας* καί πόθῳ προσκυνοῦντας* καί θείας κληρουχίας* πάντας ἀξίωσον.

Μεγαλομάρτυρος Ἀναστασίας τῆς Φαρμακολυτρίας. Ἀνωνύμου.

Φάρμακα προχέουσα μυστικά* ψυχῶν καί σωμάτων* θεραπεύεις πάθη δεινά,* ὦ Ἀναστασία,* τῇ θείᾳ ἐνεργείᾳ·* διό τάς χάριτάς σου* πάντες κηρύττομεν.

Μάρτυρος Ἀντιόχου τοῦ ἐν Σεβαστειᾳ. Ἀντ. Μάρκου.

Μέγιστος ἐφάνης ἀθλητικοῖς* ἀγῶσι, σταδίῳ* ἐναθλήσας μαρτυρικῶς·* ὅθεν τῶν καμνόντων* πέλεις ἰατρός τε* τάς νόσους θεραπεύων,* Μάρτυς Ἀντίοχε.

Ἱερομάρτυρος Ἀντίπα Ἐπ. Περγάμου. Ἀνωνύμου.

Ὁ Περγάμου Πρόεδρος καί φρουρός* καί τῆς εὐσεβείας* θεορρήμων ὑφηγητής,* ὁ τῶν Ἀποστόλων* ὁμόχρονος καί σύμπνους,* τιμάσθω μοι Ἀντίπας* ὁ ἱερόαθλος.

Μεγαλομάρτυρος Βαρβάρας. Ἀνωνύμου.

Βρύει ἰαμάτων ὁ σός ναός,* ἔνδοξε Βαρβάρα,* ἀεννάως θείαν πηγήν* καί ἀποδιώκει* λοιμώδη πάσαν νόσον* τῶν πόθῳ προστρεχόντων* καί εὐφημούντων σε.

Ἁγίου Βησσαρίωνος Ἀρχιεπ. Λαρίσης. Ἀνωνύμου.

Βησσαρίων Πάτερ θαυματουργέ,* ῥύου σούς ἱκέτας* ἐκ λιμοῦ τε καί τοῦ λοιμοῦ* πληγῆς τε ἀκρίδος* καί τελευτῆς τῶν ζώων* καί πάσης ἄλλης βλάβης* ταῖς ἱκεσίαις σου.

Ἱερομάρτυρος Βλασίου ἐπ. Σεβαστείας. Ἀνωνύμου.

Χαίροις Ἱεράρχα θαυματουργέ,* Βλάσιε θεόφρον,* Ἀθλοφόρων ἡ

καλλονή·* χαίροις ἀσθενούντων* ὁ μέγας ἀντιλήπτωρ* καί σέ τῶν εὐφημούντων* προστάτα μέγιστε.

Παιδομάρτυρος Βίτωνος τοῦ ἐν Σικελίᾳ. Ἀντ. Μάρκου.

Μαρτυρίου ἤθλησας τῷ πυρί,* ἔφηβος ὑπάρχων,* θεῖε Βίτων, ὑπέρ Χριστοῦ·* ὅθεν τοῦ ἰᾶσθαι* ἐδέξω θείαν χάριν* τῶν πίστει προστρεχόντων σοι* τά νοσήματα.

Ὁσίου Γερασίμου τοῦ ἐν Κεφαλληνίᾳ. Ἀνωνύμου.

Μέγιστος ὑπάρχεις ἡμῶν φρουρός,* φύλαξ καί προστάτης,* ἀντιλήπτωρ καί πρεσβευτής,* ἐν κινδύνοις ῥύστης,* λοιμοῦ τε καθαιρέτης,* Γεράσιμε τρισμάκαρ·* διό τιμῶμεν σε.

Ὁσίου Δαμιανοῦ τοῦ Κιέβου. Ἀντ. Μάρκου.

Ἐπώνυμος ὑπάρχων Δαμιανέ* τῶν σοί συνωνύμων* Ἀναργύρων θεοστεφῶν,* σκέπε ἡμᾶς πάντας* ἀπό παντοίας νόσου* καί φύλαττε πρεσβείαις* ταῖς σαῖς πρός Κύριον.

Ὁσίου Διομήδους τοῦ ἐν Ταρσῷ τῆς Κιλικίας. Ἀντ. Μάρκου.

Τόν τῆς Κιλικίας σεπτόν φρουρόν,* τοῦ Ταρσοῦ τό κλέος,* ἀσθενούντων τόν Ἰατρόν,* θεῖον Διομήδην,* αἰνέσωμεν προφρόνως,* ὡς Πνεύματος Ἁγίου* δοχεῖον τίμιον.

Ὁσίας Εἰρήνης Χρυσοβαλάντου. μ. Γερασίμου.

Τῆς Καππαδοκίας ἄνθος τερπνόν* καί Χρυσοβαλάντου* πολιοῦχος καί ὁδηγός* τῇ σῇ πολιτείᾳ* ἐδείχθης, τρισολβία* Εἰρήνη, Ἐκκλησίας* λαμπάς θεόφωτος.

Προφήτου Ἐλισσαίου. Ἀλεξάνδρου Μωραϊτίδου.

Χαίροις ὁ τήν χάριν διπλήν λαβών,* Πνεύματος Ἁγίου* καί Θεσβίτου τήν μηλωτήν·* χαίροις ὁ πληρώσας* τήν γῆν ἐκ τῶν θαυμάτων,* Προφῆτα Ἐλισ-σαῖε,* ἡμῶν τό στήριγμα.

Ἁγίας Ἑρμιόνης, θυγατρός ἀπ. Φιλίππου τοῦ Διακόνου. Ἀντ. Μάρκου.

Φιλίππου Ἀποστόλου οὖσα γονή,* Ἑρμιόνη θεία,* τῇ δυνάμει τοῦ Ἰησοῦ,* νόσους θεραπεύεις,* δαίμονας ἐκδιώκεις* ἀπό τῶν ἐκζητούντων τήν προστασίαν σου.

Ἱερομάρτυρος Ἑρμολάου. Ἀντ. Μάρκου.

Σεπτῷ διδασκάλῳ καί Ἰατρῷ* Μάρτυρος Κυρίου * Παντελεήμονος οἱ πιστοί,* Ἑρμόλαον πόθῳ* ὑμνήσωμεν βοῶντες·* ῥῦσαι ἀπ' ἀσθενείας* τούς σοί προσπίπτο-ντας.

Ἁγίων Ζηναΐδος καί Φιλονίλλης τῶν αὐταδέλφων. Ἀντ. Μάρκου.

Αὐτάδελφοι ὑπάρχουσαι, ἐκ Θεοῦ* ἐλάβατε χάριν* μετά πότμον, ὡς ἐν ζωῇ,* νόσους θεραπεύειν, ὦ Ζηναΐς ὀλβία* καί θεία Φιλονίλλα,* ψυχῶν τε τραύματα.

Προφήτου Ἠλιού. Ἀνωνύμου.

Χάριν ἰαμάτων παρά Θεοῦ* εἰληφῶς, Ἠλία,* θεραπεύεις πάθη δεινά·* διό τοῖς ἐν πίστει* σέ ἐπικαλουμένοις,* θεράπευσον τά πάθη* ψυχῆς καί σώματος.

Μάρτυρος Θαλλελαίου τοῦ ἐν Λιβάνῳ. Ἀρχιμ. Νικοδήμου Ἀεράκη.

Ἔλαιον βλυστάνεις διηνεκῶς* θείων ἰαμάτων,* ὡς τῆς χάριτος ἰατρός,* ψυχῶν καί σωμάτων* τά πάθη θεραπεύεις,* Θαλλέλαιε θεόφρον,* τῶν προσιόντων σοι.

Ὁσίου Θεοδοσίου τοῦ ἐν Ἀργολίδι. Ἀνωνύμου.

Χαίροις θεῖον βλάστημα Ἀθηνῶν* καί τῆς Ἀργολίδος* ἐγκαλλώπισμα καί φωστήρ·* χαίροις ὁ πηγάζων* ἰάματα ποικίλα* τοῖς σέ ὑμνολογοῦσιν,* ὦ Θεοδόσιε.

Μάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Ἐδέσσῃ. Ἀντ. Μάρκου.

Ἐδέσσης ὑπάρχοντα Ἰατρόν,* Συρίας τό κλέος,* Μάρτυρα Ἰουλιανόν,* γινώσκομεν πάσης* σώματος ἀσθενείας* ψυχῆς τε ἀναιρέτην,* δαιμόνων φόβητρον.

Ἁγίου Καισαρίου τοῦ Ἰατροῦ. Ἀντ. Μάρκου.

Καισάριε Πάτερ καί Ἰατρέ,* θείου Γρηγορίου* Θεολόγου ὁ ἀδελφός,* φιλα-δέλφως πάντων* νοσήματα ἰᾶσαι* τῶν πίστει προστρεχόντων* ὑπό τήν σκέπην σου.

Ἁγίου Καλανδρίωνος τοῦ Κυπρίου. Ἀντ. Μάρκου.

Τῆς Ἁγιονήσου ὁ θαυμαστός* ἔργοις θεραπείας* ἐνυπάρχων καί Ἰατρός,* θεῖε Καλανδρίων,* περίσωζε ἐκ λύμης* νόσου ἀνθρωποφθόρου* τούς προσιόντας σοι.

Μαρτύρων Κοσμᾶ καί Δαμιανοῦ τῶν Ῥωμαίων. Ἀντ. Μάρκου.

Χαίροις Ἀναργύρων σεπτή δυάς,* Κοσμᾶ ἐλεῆμον,* ὁμοῦ τῷ θείῳ Δαμιανῷ,* οἱ ἡμῶν προστάται* ζωῆς καί εὐεργέται,* ψυχῶν τε καί σωμάτων* οἱ προϊστάμενοι.

Ἁγίων Κοσμᾶ καί Δαμιανοῦ τῶν ἐξ Ἀσίας. Ἀνωνύμου.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί* ἰατρούς τούς θείους* καί θεράποντας τοῦ Χριστοῦ,* Κοσμᾶν ἐν

αἰνέσει,* Δαμιανόν ἐν ὕμνοις,* τούς γόνους τῆς Ἀσίας* καί αὐταδέλφους τε.

Μαρτύρων Κοσμᾶ, Δαμιανοῦ, Ἀνθεμίου, Εὐπρεπίου καί Λεοντίου τῶν ἐξ Ἀραβίας. Ἀντ. Μάρκου.

Δεῦτε τούς ὁμαίμονας ἀδελφούς* τούς ἐξ Ἀραβίας,* Ἀναργύρους θαυμα-τουργούς,* Κοσμάν Δαμιανόν τε,* Ἀνθέμιον τόν
πάνυ,* Εὐτρόπιον, Λεόντιον εὐφη-μήσωμεν.

Ὁσιομαρτύρων Κύρου καί Ἰωάννου τῶν ἐν Ἀραβίᾳ. μ. Γερασίμου.

Χαίρετε Ἀνάργυροι ἱεροί,* ἰατῆρες θεῖοι* νοσημάτων παντοδαπῶν,* Κῦρε θεοφόρε* καί θεῖε Ἰωάννη* ἰατροί, πρός τόν Σωτῆρα* πρέσβεις θερμότατοι.

Λουκᾶ τοῦ Εὐαγγελιστοῦ. μ. Γερασίμου.

Ὡς τῶν Ἀποστόλων συγκοινωνός* καί τοῦ Ζωοδότου* θεορρήμων ὑφηγητής* τοῦ Εὐαγγελίου* Λουκᾶ τοῦ τῆς εἰρήνης* ἐκήρυξας ἐν κόσμῳ* τήν ἀγαθότητα.

Ἁγίου Λουκᾶ τοῦ Ἰατροῦ. Μητροπ. Ἐδέσσης Ἰωήλ.

Χαίροις τῆς Ῥωσίας νέος βλαστός* καί τῶν ἀκεστόρων* ὁ προστάτης καί βοηθός·* χαίροις

Ἐκκλησίας* Χριστοῦ ὁ Ἱεράρχης,* Λουκᾶ Ποιμήν θεόφρον,* ἀξιοτίμητε.

Μάρτυρος Λουκίας τῆς Παρθένου. Ἁγίου Νικοδήμου Ἁγιορείτου.

Δός μοι τῷ ἀθλίῳ τῶν ὀφθαλμῶν* ἴασιν, Λουκία,* ὡς τήν χάριν παρά Θεοῦ* ἐδέξω, παμμάκαρ,* λοιμοῦ, σεισμοῦ καί βλάβης* καί πάσης ἐπηρείας* σύ με διάσωσον.

Ὁσίας Ματρώνης τῆς Ἀομμάτου. Δρ. Χαρ. Μπούσια.

Φῶς τήν στερηθεῖσαν ἐκ γενετῆς* ὀφθαλμῶν, Ματρώναν* εὐφημήσωμεν εὐλαβῶς,* ὡς πνευματοφόρων* ἀσκητριῶν Ῥωσίας* ἀγλάϊσμα τό νέον* καί σκεῦος χάριτος.

Μάρτυρος Μεδίκου τοῦ Ἰαματικοῦ. γ. Ἰσιδώρας Ἁγιεροθεϊτίσσης.

Χαίροις ὁ ἀνάργυρος ἰατρός·* χαίροις Ἐκκλησίας* στρατιώτης ὁ δυνατός·* χαίροις Ἀθλοφόρων* ἡ ἔνθεος ἀκρότης,* ὦ Μέδικε γενναῖε,* στῦλε τῆς πίστεως.

Μάρτυρος Μοδέστου τοῦ Ἰατροῦ. Ἀντ. Μάρκου.

Ἐρχόμενος ἐκ τῆς Δύσεως πρός ἡμᾶς* Μόδεστε, κατ’ ἄμφω* θεραπεύεις παθῶν πληγάς,* πνεύματα

διώκεις* καί δίδεις τήν ὑγείαν,* πᾶσι τοῖς αἰτουμένοις* τήν σήν βοήθειαν.

Ἱερομάρτυρος Μωκίου τοῦ Ῥωμαίου. Ἀνωνύμου.

Μώκιε ἱέρευσας τῷ Θεῷ,* ἤνεγκας δέ ἄρας* σεσωσμένους σου πρός Αὐτόν·* θῦμα δέ ἐγένου* τυθείς γενναιοφρόνως* καί ἕλκεις φιλοθέους* πάντας πρός μίμησιν.

Ἁγίου Νεκταρίου Μητροπ. Πενταπόλεως. μ. Γερασίμου.

Χαίροις ὁ νεόρρυτος ποταμός,* ὁ τά νεκταρώδη* τῶν χαρίτων τῶν θεϊκῶν* ῥεῖθρα πελαγίζων* τῇ θείᾳ ἐπομβρίᾳ,* Χριστοῦ τῇ Ἐκκλησίᾳ,* Πάτερ Νεκτάριε.

Ὁσίου Νικηφόρου τοῦ Λεπροῦ. γ. Ἰσιδώρας Ἁγιεροθεϊτίσσης.

Δεῦρο φιλοχρίστων θεία πληθύς* τοῦ Χριστοῦ τόν φίλον* Νικηφόρον νῦν τόν λεπρόν,* ὕμνοις ἐγκωμίων* κοσμήσωμεν ἀξίως,* ὡς θείας καρτερίας* πύκτην πανάριστον.

Ἁγίας Νικοστράτης τῆς Ἰατροῦ. Ἀντ. Μάρκου.

Ἄγνωστος ὑπάρχουσα παρ’ ἡμῖν,* γνωστή τῷ Κυρίῳ* ἐνυπάρχουσα, Ἰατρέ* θεία Νικοστράτη,* τοῦ φάρυγγος τάς νόσους* θεράπευσον, ὡς πάλαι* τοῦ Χρυσορρήμονος.

Μεγαλομάρτυρος Παντελεήμονος. Γεωργίου Ῥυσίου.

Φρούρει τούς τιμῶντας σε, Ἀθλητά,* καί εὐσεβοφρόνως* προσφοιτῶντας τῷ σῷ ναῷ* καί ῥῦσαι κινδύνων* καί πάσης ἄλλης βλάβης,* σοφέ Παντελεῆμον,* ταῖς ἱκεσίαις σου.

Μάρτυρος Παπύλου τοῦ Διακόνου. Ἀντ. Μάρκου.

Παπύλῳ Διακόνῳ καί Ἰατρῷ* προσπέσωμεν πόθῳ* ἐκζητοῦντες τήν παρ' αὐτοῦ* Δεσπότῃ μεσιτείαν* ὅπως καί ἰαθῶμεν* παθῶν ἐκ ψυχοφθόρων* καί νόσων ἅπαντες.

Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς. Ἱερομ. Ἀθανασίου Σιμωνοπετρίτου.

Φύλαττε πρεσβείαις σου πρός Χριστόν,* ἐκ κακοῦ θανάτου* καί ὀργῆς θεομη-νιῶν* δοῦλον σοῦ δοξάζον,* Παρασκευή, τήν μνήμην* καί προσκυνοῦν μορφήν σου* θαυματοβλύζουσαν.

Ἁγίου Παύλου τοῦ Ἰατροῦ. Ἀντ. Μάρκου.

Ἄγνωστος ὑπάρχων τοῖς ἐν τῇ γῇ,* γνωστός τῷ Κυρίῳ* ἐνυπάρχων, Παῦλε σεπτέ,* νόσους θεραπεύεις,* ὡς ἰατρός πασχόντων* καί δίδεις τήν ὑγείαν* τοῖς προ-σιοῦσι σοι.

Ὁσίου Ποιμένος τοῦ Πολυπαθοῦς. Ἀντ. Μάρκου.

Πρότυπον ἐδείχθης ὑπομονῆς* ἐν ταῖς ἀσθενείαις* καί τοῖς πόνοις, Πάτερ σεπτέ* Ποιμήν· διό πάντας* καθόπλισον εὐχαῖς σου* τούς ἐπικαλουμένους* τήν σήν βοήθειαν.

Ὁσίου Σαμψών τοῦ Ξενοδόχου. Ἀρχιμ. Νικοδήμου Ἀεράκη.

Τῆς φιλανθρωπίας ὑφηγητήν* καί τῶν ἐν ἀνάγκαις* ξενοδόχον καί ἀρωγόν,* Σαμψών εὐφημοῦμεν* τόν θεῖον μυστολέκτην,* Χριστοῦ τοῦ Θεανθρώπου* τό ἀφομοίωμα.

Μάρτυρος Σοφίας τῆς Ἰάτραινας. Ἀντ. Μάρκου.

Μάρτυρος Σοφίας τῆς Ἰατροῦ,* τήν δόξαν αἰνοῦντες* ἐν τῷ πόλῳ καί ἐν τῇ γῇ,* αἰτούμεθα ὅπως* ἡμᾶς ἐπισκιάσει* τῇ πρός Χριστόν πρεσβείᾳ* αὐτῆς καί χάριτι.

Ἁγίου Σπυρίδωνος ἐπ. Τριμυθοῦντος. Ἀνωνύμου.

Τῶν θαυμάτων πέλαγος γεγονώς* πάσης τρικυμίας* ἐν θαλάσσῃ τε καί ἐν γῇ,* μέγιστε Σπυρίδων,* διάσωζε εὐχαῖς σου* τούς ἐπικαλουμένους* μέγα σόν ὄνομα.

Παιδομάρτυρος Τρύφωνος τοῦ ἐν Φρυγίᾳ. μ. Γερασίμου.

Ἴχνεσιν ἑπόμενος ἀκλινῶς,* Τρύφων Ἀθλοφόρε,* τοῦ φανέντος ἐπί τῆς γῆς,* τῶν Αὐτοῦ χαρίτων* δοχεῖον ἀνεδείχθης* καί ἱεροῖς ἀγῶσι,* Μάρτυς, διέπρεψας.

Μαρτύρων Φωτίου καί Ἀνικήτου. Ἀνωνύμου.

Ἀνίκητος ὤφθης καί ἀρραγής,* Ἀνίκητε μάκαρ,* ἐν ἀγῶσιν ἀθλητικοῖς·* πλήρης δέ ἀΰλου* φωτός, Φώτιε Μάρτυς·* διό καί ἐπαξίως* ἐθαυμαστώθητε.

Ἱερομάρτυρος Χαραλάμπους. Ἀνωνύμου.

Ἀθλοφόρων κλέος τό ἱερόν,* Μάρτυρα Κυρίου,* Χαραλάμπη, νῦν οἱ πιστοί,* ἐλατῆρα ὄντα* ἰσχυρόν πάσης νόσου* παθῶν τε, μετά πόθου* ὑμνολογήσωμεν.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τῆς ἡμέρας. Εἶτα·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου* ποιήσατε πρεσβείαν* εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς·* πάσης γάρ ἀπολογίας ἀποροῦντες* ταύτην Σοι τήν ἱκεσίαν,* ὡς

Δεσπότῃ,* οἱ ἁμαρτωλοί προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς·* ἐπί Σοί γὰρ πεποίθαμεν.* Μή ὀργισθῇς ἡμῖν σφόδρα,* μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν,* ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος* καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.* Σύ γάρ εἶ Θεός ἡμῶν* καί ἡμεῖς λαός Σου,* πάντες ἔργα χειρῶν Σου* καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαγχνίας τήν πύλην ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε,* ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσωμεν,* ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·* Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τήν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπό τοῦ Ἱερέως Ἀπόλυσις. Καί τῶν Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα τῶν Ἁγίων καί χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε Ἀναργύροις τοῖς σεπτοῖς* καί Ἰαματικοῖς τοῦ Κυρίου* Ἁγίοις ἅπασι,* οἱ νόσοις τρυχόμενοι* θέρμῃ προσπέσωμεν* ἐκζητοῦντες τήν

δέησιν* αὐτῶν πρός Δεσπότην,* μόνον Ἐλεήμονα, Χριστόν τόν Κύριον,* ἵνα ἐλεήσῃ καί σώσῃ* καί ἀσθενειῶν ἀπαλλάξῃ,* Ἰατρός ὑπάρχων μόνος τῶν ψυχῶν ἡμῶν.

Δέσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλων Σου* καί λύτρωσαι ἡμᾶς* ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου* εἰς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπό τήν σκέπην Σου

Στίχοι·

*Ἐλέει Ἐλεήμονος ἐλεηθέντες τοῦ ἐλεεῖν,*

*ἐλαίῳ τῆς λάρνακος ὑμῶν ἐλέῃ σοῖς ἀγάπης*

*ἐλεήσατε, θεῖοι Χριστοῦ Ἀνάργυροι,*

*τούς ἔλεος αἰτοῦντας, ἐλέους ἐπ' ἐλπίδι.*

[1] Κέντρον Ἁγιολογικῶν Μελετῶν ΟΣΙΟΣ ΣΥΜΕΩΝ Ο ΜΕΤΑΦΡΑΣΤΗΣ. Στό ἑξῆς ΚΑΜ.

[2] Ἡ λέξις προέρχεται ἀπό τό οὐσιαστικοποιημένο ἐπίθετο *ὁ, ἡ πανώλης (-λους)* καί σημαίνει τήν ἀσθένεια πού καταστρέφει τά πάντα. Ἡ πανώλης (κοινῶς πανοῦκλα), εἶναι ὀξεία λοιμώδης νόσος πού προκαλεῖται ἀπό τό βακτήριο Yersinia pestis (παστερέλλα τοῦ Γιερσέν). Μεταδίδεται στόν ἄνθρωπο ἀπό τσίμπημα ψύλλου πού παρασιτεῖ στόν μαῦρο ἀρουραῖο. Ἀπό ἄνθρωπο σέ ἄνθρωπο μεταδίδεται εὔκολα μέ ἄμεση ἤ ἔμεση ἐπαφή, καθώς τό βακτήριο εἶναι ἀερόβιο. Ἐμφανίζεται σέ τρεῖς μορφές. Τήν βουβωνική, τήν πνευμονική καί τήν σηψαιμική. Σέ ὅλες τίς μορφές ἡ θνητότητα χωρίς ἀγωγή εἶναι 40 – 60% καί μέ ἀγωγή ἕως 15%. Στήν

ἀρχαιότητα ὁ λοιμός τῶν Ἀθηνῶν πού ἀναφέρει ὁ Θουκυδδίδης ἦταν πανώλης. Τό 542 ἐπί βασιλείας Ἰουστινιανοῦ, ἡ ἐπιδημία ἄρχισε ἀπό τήν Αἴγυπτο. Τό 610 ἔφτασε στήν Κίνα μέσω Περσίας. Τό 1330 πέρασε στήν Εὐρώπη μέσῳ τῶν Μογγόλων ἐπιδρομέων. Τό 1347 ὁ λεγόμενος Μαῦρος θάνατος σαρώνει τήν Εὐρώπη καί τήν Μέση Ἀνατολή (μέ 20 – 25.000.000 νεκρούς στήν Εὐρώπη καί 100 – 200.000.000 σέ παγκόσμιο ἐπίπεδο). Τό 1665 πλήττει τό Λονδῖ(ί)νο καί ἀνακόπτεται μόνον μέ τήν μεγάλη πυρκαγιά τοῦ 1666. Τό 1721 σαρώνει τήν Γαλλία. Τό 1855 ξεσπάει τρίτη ἐπιδημία στήν Κίνα. Τό 1890 ἀπομονώνεται τό βακτήριο καί παρασκευάζεται τό ἐμβόλιο. Τελευταῖα ἐπιδημία τό 1960 στό Βιετνάμ.

[3] Ὁ Ἅγιος Ἀπόστολος καί Εὐαγγελιστής Λουκᾶς, Ἰατρός, συνοδός τοῦ Ἀπ. Παύλου, πρῶτος Ἁγιογράφος (+ 84, 18η Ὀκτωβρίου).

[4] Κοσμᾶς καί

[5] Δαμιανός, ἡ πρώτη συζυγία τῶν Ἁγίων Ἀναργύρων, οἱ Ῥωμαῖοι (+ 287, 1η Ἰουλίου).

[6] Κοσμᾶς,

[7] Δαμιανός,

[8] Λεόντιος,

[9] Εὐτροπίος καί

[10] Ἀνθέμιος, οἱ Ἅγιοι Ἀνάργυροι ἐξ Ἀραβίας (+ 292, 17η Ὀκτωβρίου).

[11] Μάρτυς Λουκία ἡ Παρθένος (+ 304, 13η Δεκεμβρίου).

[12] Μάρτυς Ἀγάθη τῆς Σικελίας (+ 251, 5η Φεβρουαρίου).

[13] Νεομάρτυς Ἀγγελῆς ἐξ Ἄργους, ὁ ἐν Χίῳ, Ἰατρός (+ 1813, 3η Δεκεμβρίου).

[14] Παναγία ἡ Γιάτρισσα Λουτρακίου.

[15] Ἅγιος Καισάριος ὁ Ἰατρός, ἀδελφός Ἁγ. Γρηγορίου τοῦ Θεολόγου (+ 368, 9η Μαρτίου).

[16] Ἁγία Ἑρμιόνη, θυγάτηρ Ἀποστόλου Φιλίππου, Ἰατρός (1ος αἰ. 4η Σεπτεμβρίου).

[17] Ἁγία Νικοστράτη, Ἰατρός Ἱεροῦ Χρυσοστόμου (ἄνευ ὑπομνήματος καί ἡμερο-μηνίας μνήμης).

[18] Ὅσιος Θεοδόσιος ὁ ἐν Ἀργολίδι ( + 924, 7η Αὐγούστου).

[19] Ἱερομάρτυς Βλάσιος Ἐπίσκοπος Σεβαστείας τῆς Ἀρμενίας (+ 316, 11η Φεβρ.).

[20] Ἅγιος Σπυρίδων ἐπ. Τριμυθοῦντος (+ 350, 12η Δεκεμβρίου).

[21] Κύρος καί

[22] Ἰωάννης οἱ Ἀναργυροι, Ὁσιομάρτυρες ἐξ Ἀραβίας (+ 292, 31η Ἰανουαρίου).

[23] Παναγία ἡ Διασώζουσα Πάτμου.

[24] Μάρτυς Τρύφων ὁ ἐκ Φρυγίας (+ 250, 1η Φεβρουαρίου).

[25] Ἱερομάρτυς Ἑρμόλαος ὁ Ἰατρός (+ 305, 26η Ἰουλίου).

[26] Ὅσιος Ἀγαπητός ὁ Ἰαματικός, τῆς Λαύρας τῶν Σπηλαίων τοῦ Κιέβου (11ος αἰ. 1η Ἰουνίου).

[27] Ἱερομάρτυς Ζηνόβιος Ἐπίσκοπος Αἰγῶν τῆς Κιλικίας, Ἰατρός, καί

[28] Μάρτυς Ζηνοβία, Ἰατρός, αὐτάδελφοι (+ 305, 30η Ὀκτωβρίου).

[29] Μεγαλομάρτυς Βαρβάρα (+ 305, 4η Δεκεμβρίου).

[30] Μάρτυς Διομήδης ὁ ἐν Κιλικίᾳ (+ 288, 16η Αὐγούστου).

[31] Ὅσιος Σαμψών ὁ Ξενοδόχος (6ος αἰ. 27η Ἰουνίου).

[32] Ἱερομάρτυς Ἀντίπας Ἐπίσκοπος Περγάμου (+ 92, 11η Ἀπριλίου).

[33] Ὅσιος Δαμιανός ὁ Ἰαματικός, τῆς Λαύρας τῶν Σπηλαίων τοῦ Κιέβου (11ος αἰ. 5η Ὀκτωβρίου).

[34] Μάρτυς Ἰουλιανός ὁ ἐξ Ἐδέσσης τῆς Συρίας (21η Ἰουνίου).

[35] Μάρτυς Δύφνα ἐξ Ἰρλανδίας (+ (+ 620, 15η Μαΐου).

[36] Μάρτυς Θαλέλαιος ὁ ἐν Λιβάνῳ (+ 284, 20η Μαΐου).

[37] Παναγία ἡ Λεχωβίτισσα Κορινθίας.

[38] Παιδομάρτυς Βίτων ὁ ἐκ Σικελίας (+ 303, 15η Ἰουνίου).

[39] Ἅγιος Νεκτάριος Μητροπ. Πενταπόλεως, ὁ Θαυματουργός (+ 1920, 9η Νοεμ.).

[40] Μάρτυς Μέδικος ὁ Ἰατρός (+ 172, 26η Ἰουνίου).

[41] Ἀγίαι (Ἅγιαι) Ζηναΐς καί

[42] Φιλονίλλα, Ἰατροί, σύγχρονοι Ἀπ. Παύλου (1ος αἰ. 11η Ὀκτωβρίου).

[43] Μάρτυς Ἀντίοχος ὁ ἐν Σεβαστείᾳ (3ος αἰ. 16η Ἰουλίου).

[44] Ὅσιος Ποιμήν ὁ Πολυπαθής (+ 1110, 7η Αὐγούστου).

[45] Ὁσία Εἰρήνη Χρυσοβαλάντου (28η Ἰουλίου).

[46] Ἁγία Θεοπρομήτωρ Ἄννα (25η Ἰουλίου).

[47] Μάρτυς Σοφία ἡ Ἰάτραινα (22α Μαΐου).

[48] Μεγαλομάρτυς Ἀναστασία ἡ Φαρμακολύτρια (+ 305, 22α Δεκεμβρίου).

[49] Παναγία ἡ Μαλεβῆ Κυνουρίας.

[50] Κοσμᾶς καί

[51] Δαμιανός οἱ ἐκ τῆς Ἀσίας, υἱοὶ Θεοδότης, ἡ δευτέρα συζυγία τῶν Ἁγίων Ἀναργύρων (3ος αἰ. 1η Νοεμβρίου).

[52] Μεγαλομάρτυς Παντελεήμων (+ 305, 27η Ἰουλίου).

[53] Ἱερομάρτυς Μώκιος ὁ Ῥωμαῖος (+ 288, 11η Μαΐου).

[54] Ἱερομάρτυς Πάπυλος ὁ Διάκονος (+ 251, 13η Ὀκτωβρίου).

[55] Ἅγιος Βησσαρίων Ἀρχιεπ. Λαρίσης (+ 1540, 15η Σεπτεμβρίου).

[56] Ἅγιος Παῦλος ὁ Ἰατρός (ἄνευ ὑπομνήματος, 28η Ἰουνίου).

[57] Ἱερομάρτυς Χαράλαμπος (+ 202, 10η Φεβρουαρίου).

[58] Μάρτυς Ἀνίκητος καὶ

[59] Μάρτυς Φώτιος Ἀνάργυροι, οἱ ἐν Νικομηδείᾳ (+ 305, 12η Αὐγούστου).

[60] Προφήτης Ἠλίας ὁ Θεσβίτης (10ος αἰ. π. Χ. 20η Ἰουλίου).

[61] Προφήτης Ἐλισσαῖος (10ος αἰ. π. Χ. 14η Ἰουνίου).

[62] Ἀγία Ματρῶνα ἡ Ἀόμματος (+ 1952, 2α Μαΐου).

[63] Ἅγιος Καλανδρίων ὁ Κύπριος (ἄνευ ὑπομνήματος καὶ ἡμερομηνίας μνήμης).

[64] Παναγία Σουμελᾶ Βερμίου.

[65] Ὁσιοπαρθενομάρτυς Παρασκευὴ ἡ Ῥωμαία (+ 170, 26η Ἰουλίου).

[66] Ὅσιος Γεράσιμος ὁ ἐν Κεφαλληνίᾳ (+ 1579, 16η Αὐγούστου καὶ 20η Ὀκτωβρίου).

[67] Ἅγιος Λουκᾶς ὁ Ἰατρός (+ 1961, 11η Ἰουνίου).

[68] Ὅσιος Νικηφόρος ὁ Λεπρός (+ 1964, 4η Ἰανουαρίου).